σον ἔλεγον. Οὐ χρείαν ἔχομεν ἡμεῖς περὶ τοῦ ῥήματος τούτου ἀποκριθῆναί σοι. ἔστι γὰρ ὁ θεὸς ἡμῶν ἐν οὐρανοῖς, ᾧ ἡμεῖς λατρεύομεν, ἱκανὸς ἐξελέσθαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης· καὶ ἐκ τῶν χειρῶν σου βασιλεῦ ῥύσεται ἡμᾶς. καὶ ἐὰν μὴ, γνωστὸν ἔστω σοι βασιλεῦ ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν. ἀπὸ τούτων αὐτοὺς τῶν ῥημάτων ἀνακηρύττω, ἀπὸ τούτων τὸ βραβεῖον τῆς νίκης ἁρπάσαντες ἐπὶ τὸν λαμπρὸν ἔδραμον τοῦ μαρτυρίου στέφανον, τῇ τῶν ῥημάτων ὁμολογίᾳ τὴν διὰ τῶν πραγμάτων προσθέντες. εἰ δὲ ἐμβληθέντας ἠδέσθη τὸ πῦρ αὐτῶν τὰ σώματα, καὶ τὰ δεσμὰ ἔλυσε, καὶ παρέσχε κάτω μετὰ ἀδείας βαδίζειν, καὶ τῆς οἰκείας ἐνεργείας ἐπε-

lerunt: Non oportet nos de hac re reſpondere tibi. Poteſt enim Deus noſter in cœlis, quem nos colimus, eripere nos ex camino ignis ardentis, & de tuis manibus, ô Rex, liberabit nos. ſin minus notum ſit tibi rex. quia Deos tuos non colimus, & ſtatuam auream, quam erexiſti, non adoramus. *Iam inde ab illis verbis eos victores pronuncio, iam inde ab illis reportato victoriæ præmio ad inſignem martyrij coronam, confeſſioni verborum addita confeſſione rerum, cucurrerunt. Sin ignis reueritus eſt immiſſa eorum corpora, & vincula ſoluit, ſecurum deſcenſum præbuit, ſuæ*